# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

20

# Ἀκολουθία

## Ἐπὶ Ἐνάρξει Ἐκκλησιαστικῆς Διακονίας

ΕΚΔΟΣΕΙΣ
ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ
ΩΡΩΠΟΥ ΚΑΙ ΦΥΛΗΣ
ΦΥΛΗ ΑΤΤΙΚΗΣ
2014

# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

20

# Ἀκολουθία
# Ἐπὶ Ἐνάρξει
# Ἐκκλησιαστικῆς Διακονίας

# Περιεχόμενα


| | | |
|---|---|---|
| ● | Εἴδησις | 5 |
| Α′. | Ἔναρξις - Ἀπολυτίκια | 6 |
| Β′. | Ἀναγνώσματα | 7 |
| Γ′. | Δεήσεις καὶ Ἁγιασμὸς | 10 |
| Δ′. | Εὐχὴ ἐπὶ Ἐνάρξει | 15 |
| Ε′. | Ἀπόλυσις | 18 |



© Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς


Φυλὴ Ἀττικῆς
Ἀριθμ. Γραμ. 112, 133 51 ΦΥΛΗ - ΕΛΛΑΣ
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 24 11 511
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail: mitropolis-orfyl@hsir.org
Ἱστοσελίδα: www.hsir.org

# ΑΚΟΛΟΥΘΙΑ
# ΕΠΙ ΕΝΑΡΞΕΙ
# ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ

## Εἴδησις

Εὐτρεπίζεται μικρὰ τράπεζα, καὶ τίθεται ἐπ᾽ αὐτῆς ἱερὸν Εὐαγγέλιον, ξύλινος ἀργυρόδετος Σταυρός, θυμιατήριον, δοχεῖον μεθ᾽ ὕδατος καθαροῦ, δύο κηροπήγια, ἐν οἷς ἀνάπτονται κηρία καθαρά, μικρὰ δέσμη βασιλικοῦ καὶ λευκὸν καθαρὸν μάκτρον.

Συνηγμένων δὲ πάντων, ἄρχεται ἡ Ἀκολουθία, τοῦ Ἱερέως φέροντος Ἐπιτραχήλιον, τοῦ δὲ Διακόνου Στιχάριον σὺν Ὀραρίῳ.

***

# Α΄. ΕΝΑΡΞΙΣ - ΑΠΟΛΥΤΙΚΙΑ

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Χορός·

Ἀμήν!

Καὶ εὐθὺς τὰ ἑπόμενα Τροπάρια·

Ἦχος β΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ᾿ ἡμῶν κατὰ τὴν Σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός Σου ἀφ᾿ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ἦχος πλ. δ΄.

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

***

# Β′. ΑΝΑΓΝΩΣΜΑΤΑ

Εἶτα ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα. Καὶ νῦν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Δύναμις!

Ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

Προκείμενον.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Στίχ. Εὐδόκησας, Κύριε, τὴν γῆν Σου.

Ὁ Διάκονος·

Σοφία!

Ὁ Ἀναγνώστης·

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

**Π**ρόσχωμεν!

Ὁ Ἀναγνώστης·

**Τ**έκνον Τίτε, πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μανθανέτωσαν δὲ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ὡς τέκνα φωτὸς περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου· εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρί.

Ὁ Ἱερεύς·

**Ε**ἰρήνη σοι τῷ ἀναγινώσκοντι!

Ὁ Χορός·

**Ἀ**λληλούϊα. (γ´)

Ὁ Διάκονος·

**Σ**οφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου!

Ὁ Ἱερεύς·

**Ε**ἰρήνη πᾶσι!

Ὁ Χορός·

**Κ**αὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

**Ἐ**κ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

**Π**ρόσχωμεν!

Ὁ Χορός·

**Δ**όξα Σοι, Κύριε, δόξα Σοι!

Ὁ Ἱερεύς·

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων,

ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, δόξα Σοι!

***

## Γ΄. ΔΕΗΣΕΙΣ καὶ ΑΓΙΑΣΜΟΣ

Εἶτα αἱ ἑξῆς δεήσεις·

Ὁ Διάκονος·

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

**Ὑ**πὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

**Ὑ**πὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

**Ὑ**πὲρ τοῦ καταπεμφθῆναι ἡμῖν πλουσίαν τὴν θείαν Χάριν ἐν τῇ Διακονίᾳ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

**Ὑ**πὲρ τοῦ γενέσθαι ἡμῖν τὸν Θεὸν ἡμῶν συνεργὸν καὶ ἀντιλήπτορα, ἐν οἷς κατὰ τὸ θεῖον Αὐτου φωτισμὸν πράττομεν ἀγαθοῖς, πρὸς δόξαν τοῦ Ὀνόματος Αὐτοῦ, καὶ ἁγιασμὸν τοῦ Λαοῦ Αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

**Ὑ**πέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν!

Ὁ Ἱερεύς·

**Εὐχὴ τοῦ Ἁγιασμοῦ**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας· καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας· καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἁγιάσας τῇ Ἀχράντῳ Σου ἐπιφανείᾳ·

**[Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῇ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Σου Πνεύματος (γʹ)].**

Καὶ ποίησον αὐτὸ γενέσθαι πᾶσι τοῖς τε ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐ-

τοῦ εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμὸν οἴκων, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀορτάτου ἀλεξιτήριον.

**Ἔ**λθέτω τὸ Πνεῦμα Σου τὸ Ἅγιον ἐφ᾿ ἡμᾶς καὶ κατασκήνωσον ἐν τῷ ὕδατι τούτῳ, καὶ τοὺς σπίλους τῶν προσερχομένων ἰασάμενος, εἰσάγαγε πάντας ἡμᾶς εἰς τὴν οὐράνιόν Σου Βασιλείαν·

**Σ**ὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

**Ἀ**μήν!

Ὁ Ἱερεύς·

**Ε**ἰρήνη πᾶσι!

Ὁ Χορός·

**Κ**αὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

**Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός·

**Σ**οί, Κύριε.

Ὁ Ἱερεύς, χαμηλοφώνως·

**Εὐχὴ τῆς κεφαλοκλισίας**

Κλῖνον Κύριε τὸ οὖς Σου, καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον πάντας ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ Σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγίειαν ψυχῆς τε καὶ σώματος.

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

Ὁ Ἱερεὺς βαπτίζει τὸν Τίμιον Σταυρὸν ἐν τῷ ὕδατι, κατάγων καὶ ἀνάγων Αὐτὸν ὄρθιον καὶ ψάλλων τὸ Τροπάριον·

Ἦχος α΄.

Σῶσον, Κύριε, τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας

τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

Καὶ ὁ Χορὸς τὸ αὐτό, δίς.

Ὁ Ἱερεὺς ῥαντίζει σταυροειδῶς διὰ τοῦ Σταυροῦ καὶ τοῦ Ἁγιάσματος, ψαλλομένου ὑπὸ τοῦ Χοροῦ τοῦ Τροπαρίου·

Ἦχος β΄.

Τῶν Σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι, τὴν εὐλογίαν Σου, Ἄχραντε.

***

## Δʹ. ΕΥΧΗ ΕΠΙ ΕΝΑΡΞΕΙ

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Χορός·
Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

**Εὐχὴ**

## Ἐπὶ Ἐνάρξει Ἐκκλησιαστικῆς Διακονίας

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν· ὁ ἐλθὼν εἰς τὸν κόσμον, ἵνα ζητήσῃς καὶ σώσῃς τὸ ἀπολωλός· ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους πρὸς Σεαυτὸν καλῶν καὶ ἀναπαύων· ὁ τοὺς συντετριμμένους τὴν καρδίαν ἀνορθῶν, καὶ τοῖς πτωχοῖς εὐαγγελιζόμενος εἰρήνην.

Αὐτὸς καὶ νῦν, Κύριε, ἐπισκίασον ἡμῖν τῷ Ἁγίῳ Σου Πνεύματι, καὶ χάρισαι πᾶσιν ἡμῖν, τοῖς τε Διακονοῦσι καὶ τοῖς Διακονουμένοις, καὶ ἐργαζομένοις ἐν τῷ μυστικῷ Ἀμπελῶνι Σου, τὴν Σὴν εἰρήνην καὶ τὴν Σὴν εὐλογίαν· δὸς ἡμῖν ἐν εἰλικρινείᾳ καὶ πίστει ἀληθεῖ, ἐν ἀγάπῃ τελείᾳ καὶ πνεύματι ζέοντι, τελεῖν τὰς ἐμπιστευθείσας ἡμῖν Διακονίας, πρὸς οἰκοδομὴν τοῦ Σώματός Σου, καὶ ἁγιασμὸν τοῦ Λαοῦ Σου, καὶ δόξαν τῆς Ἐκκλησίας Σου.

Ναί, Κύριε, ἡ πηγὴ τοῦ ἐλέους καὶ τῆς εὐσπλαγχνίας, δώρησαι ἡμῖν τὴν ἀγάπην, ἵνα ταύτην ὁδηγὸν ἔχωμεν ἐν τῷ βίῳ ἡμῶν· καὶ ἵνα Σὲ τὸν Χριστόν, τὴν ὄντως Ἀγάπην, σχῶμεν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, ποιοῦντα ἐν ἡμῖν τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας, εἰς τὸ εἶναι ἡμᾶς πνευματοκινήτους καὶ θεοδιδάκτους εἰς τὸ ἀγαθόν· ἵνα ἡ δύναμις

ἐν οἷς πράττομεν ᾖ ἐκ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν· ἵνα τὰ Σὰ ἐκ τῶν Σῶν Σοὶ προσφέρωμεν ἐν παντὶ καιρῷ καὶ τόπῳ τῆς Δεσποτείας Σου.

**Ε**ἰς δόξαν καὶ τιμὴν τοῦ ὑπερενδόξου Ὀνόματός Σου, καὶ τοῦ ἀνάρχου Σου Πατρός, καὶ τοῦ Ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

**Ἀ**μήν!

***

Εἶθ᾽ οὕτως, ὁ Ἱερεὺς εὐλογεῖ καὶ ῥαντίζει ἅπαντας τοὺς συμπαρόντας καὶ συνευχομένους διὰ τοῦ Σταυροῦ καὶ τοῦ Ἁγιάσματος, τοῦ Χοροῦ ψάλλοντος τὰ Τροπάρια·

Θεοτοκίον.

Ἦχος δ΄.

**Ν**εῦσον παρακλήσεσι, Σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· Σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν, Δέσποινα, Σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν, τῶν Σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἕτερον.
Ὁ αὐτός.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους Σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

***

## Ε΄. ΑΠΟΛΥΣΙΣ

Ὁ Ἱερεύς·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Χορός·

Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον (γ΄)·
Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου Ἁγίας Αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πα-

τέρων ἡμῶν· τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς!

Ὁ Χορός·

**Ἀ**μήν!

---

**(*)** Ἡ Εὐχὴ «Ἐπὶ ἐνάρξει Ἐκκλησιαστικῆς Διακονίας», ἀποτελεῖ σύνθεσιν ἡμετέραν ἐκ διαφόρων ἄλλων Εὐχῶν τοῦ Μικροῦ Εὐχολογίου, ἐκδόσεως Ἀ.Δ.Ἑ., Ἀθῆναι 2004 (βλ. «Ἀκολουθίαι Περιστατικαί»), μέ τινας προσθήκας καὶ βελτιώσεις.

